ΔΙΔΑΓΜΕΝΟ ΚΕΙΜΕΝΟ

Λυσίας, *Ὑπὲρ Μαντιθέου* §§2-3

Ἐγὼ γὰρ οὕτω σφόδρα ἐμαυτῷ πιστεύω, ὥστ᾽ ἐλπίζω καὶ εἴ τις πρός με τυγχάνει ἀηδῶς [ἢ κακῶς] διακείμενος, ἐπειδὰν ἐμοῦ λέγοντος ἀκούσῃ περὶ τῶν πεπραγμένων, μεταμελήσειν αὐτῷ καὶ πολὺ βελτίω με εἰς τὸν λοιπὸν χρόνον ἡγήσεσθαι. Ἀξιῶ δέ, ὦ βουλή, ἐὰν μὲν τοῦτο μόνον ὑμῖν ἐπιδείξω, ὡς εὔνους εἰμὶ τοῖς καθεστηκόσι πράγμασι καὶ ὡς ἠνάγκασμαι τῶν αὐτῶν κινδύνων μετέχειν ὑμῖν, μηδέν πώ μοι πλέον εἶναι· ἐὰν δὲ φαίνωμαι περὶ τὰ ἄλλα μετρίως βεβιωκὼς καὶ πολὺ παρὰ τὴν δόξαν καὶ [παρὰ] τοὺς λόγους τοὺς τῶν ἐχθρῶν, δέομαι ὑμῶν ἐμὲ μὲν δοκιμάζειν, τούτους δὲ ἡγεῖσθαι χείρους εἶναι. Πρῶτον δὲ ἀποδείξω ὡς οὐχ ἵππευον οὔδ᾽ ἐπεδήμουν ἐπὶ τῶν τριάκοντα, οὐδὲ μετέσχον τῆς τότε πολιτείας.

ΠΑΡΑΤΗΡΗΣΕΙΣ

Α1. Να γράψετε τον αριθμό που αντιστοιχεί σε καθεμία από τις παρακάτω περιόδους λόγου και δίπλα σε αυτόν τη λέξη «**Σωστό**», αν είναι σωστή, ή τη λέξη «**Λάθος**», αν είναι λανθασμένη, με βάση το αρχαίο κείμενο (μονάδες 5) και να τεκμηριώσετε κάθε απάντησή σας γράφοντας τις **λέξεις/φράσεις** του αρχαίου κειμένου που την επιβεβαιώνουν (μονάδες 5):

1. Ο Μαντίθεος νιώθει αυτοπεποίθηση μπροστά στους βουλευτές.
2. Ο Μαντίθεος παραδέχεται ότι είχε ευνοϊκά συναισθήματα για το καθεστώς των Τριάκοντα.
3. Ο Μαντίθεος θα αποδείξει ότι έχει δείξει μέχρι τώρα στη ζωή του εντιμότητα.
4. Ο Μαντίθεος ζητάει από τους βουλευτές να τον αθωώσουν και να μην τον καταδικάσουν σε θάνατο.
5. Ο Μαντίθεος παραδέχεται ότι ζούσε στην Αθήνα κατά την περίοδο της τυραννίας μετά το τέλος του Πελοποννησιακού πολέμου.

Μονάδες 10

ΠΑΡΑΛΛΗΛΟ ΚΕΙΜΕΝΟ

Ἀριστοτέλης, *Ῥητορικὴ* 1356a

Όπως φανερώνει και ο τίτλος, στα τρία βιβλία του έργου αυτού ο Αριστοτέλης περιγράφει τη ρητορική τέχνη, τα είδη και τα μέσα της.

Ο ρητορικός λόγος λειτουργεί πειστικά με τρεις τρόπους: άλλοτε μέσω του χαρακτήρα του ρήτορα, άλλοτε μέσω της συγκεκριμένης διάθεσης που δημιουργεί στην ψυχή του ακροατή

και άλλοτε με τα αποδεικτικά ή φαινομενικά αποδεικτικά επιχειρήματα που περιέχει ο ίδιος. Με τον χαρακτήρα του ο ρήτορας πείθει όταν μιλάει με τέτοιον τρόπο ώστε ο λόγος του να τον κάνει αξιόπιστο· γιατί στους έντιμους ανθρώπους χαρίζουμε σε μεγαλύτερο βαθμό και με περισσότερη προθυμία την εμπιστοσύνη μας για όλα, βέβαια, εν γένει, τα θέματα, κατά τρόπο όμως απόλυτο για τα θέματα στα οποία δεν υπάρχει βεβαιότητα και μας αφήνουν περιθώρια αμφιβολίας. Και αυτό όμως πρέπει να προκύπτει από τον λόγο και όχι να είναι το αποτέλεσμα μιας καλής ιδέας που έχουμε από πριν για τον ρήτορα·

Μτφρ. Δ. Λυπουρλής

Β4. Να γράψετε μία **σύνθετη λέξη** της Νέας Ελληνικής, με **πρώτο συνθετικό** καθεμία από τις παρακάτω λέξεις του αρχαίου διδαγμένου κειμένου: ***χρόνον***, ***μόνον***, ***πράγμασι***, ***πλέον***, ***λόγους***.

Μονάδες 10

ΑΔΙΔΑΚΤΟ ΚΕΙΜΕΝΟ

Ἀνδοκίδης, *Περὶ τῶν μυστηρίων* §§1-2

(έκδ. του Dalmeyda, G. Παρίσι: Les Belles Lettres, 1930, ανατ. 1966)

Σε αυτήν τη δίκη ο Ανδοκίδης επιχειρεί να αντικρούσει την κατηγορία ότι παραβίασε το διάταγμα του Ισοτιμίδη, που απαγόρευε στους ασεβείς να εισέρχονται στα ιερά και να παρευρίσκονται στα Ελευσίνια Μυστήρια.

*Τὴν μὲν παρασκευήν, ὦ ἄνδρες, καὶ τὴν προθυμίαν <u>τῶν ἐχθρῶν</u> τῶν ἐμῶν, ὥστ᾽ ἐμὲ κακῶς ποιεῖν ἐκ <u>παντὸς</u> τρόπου καὶ δικαίως καὶ ἀδίκως, ἐξ ἀρχῆς **ἐπειδὴ τάχιστα ἀφικόμην εἰς τὴν πόλιν ταυτηνί**, σχεδόν τι πάντες ἐπίστασθε, καὶ οὐδὲν δεῖ περὶ τούτων πολλοὺς λόγους ποιεῖσθαι· ἐγὼ δέ, ὦ ἄνδρες, δεήσομαι <u>ὑμῶν</u> δίκαια καὶ ὑμῖν τε ῥᾴδια χαρίζεσθαι καὶ ἐμοὶ ἄξια πολλοῦ τυχεῖν παρ᾽ ὑμῶν. Πρῶτον μὲν ἐνθυμηθῆναι ὅτι νῦν ἐγὼ ἥκω οὐδεμιᾶς μοι <u>ἀνάγκης</u> οὔσης παραμεῖναι, οὔτ᾽ ἐγγυητὰς καταστήσας οὔθ᾽ <u>ὑπὸ δεσμῶν</u> ἀναγκασθείς, πιστεύσας δὲ μάλιστα μὲν τῷ δικαίῳ, ἔπειτα δὲ καὶ ὑμῖν, γνώσεσθαι τὰ δίκαια καὶ μὴ περιόψεσθαί με ἀδίκως ὑπὸ τῶν ἐχθρῶν <u>τῶν ἐμῶν</u> διαφθαρέντα, ἀλλὰ πολὺ μᾶλλον σώσειν δικαίως κατά τε τοὺς νόμους τοὺς ὑμετέρους καὶ τοὺς ὅρκους οὓς ὑμεῖς ὀμόσαντες μέλλετε τὴν ψῆφον οἴσειν.*

ταυτηνί: αυτήν εδώ

περιόψεσθαι <περιοράω-ῶ: παραβλέπω, επιτρέπω, ανέχομαι

ὀμόσαντες <ὄμνυμι: ορκίζομαι

ΠΑΡΑΤΗΡΗΣΕΙΣ

Γ1. Να μεταφράσετε στη Νέα Ελληνική το απόσπασμα: «***Τὴν μὲν παρασκευήν, … τυχεῖν παρ' ὑμῶν***».

Μονάδες 20

Γ4.

α. Να προσδιορίσετε την κύρια συντακτική λειτουργία των υπογραμμισμένων λέξεων του κειμένου:

τῶν ἐχθρῶν: είναι …… στο ……..

παντός: είναι …… στο ……..

ὑμῶν: είναι …… στο ……..

ἀνάγκης: είναι …… στο ……..

ὑπὸ δεσμῶν: είναι …… στο ……..

τῶν ἐμῶν: είναι …… στο ……..

(μονάδες 6)

β. «***ἐπειδὴ τάχιστα ἀφικόμην εἰς τὴν πόλιν ταυτηνί***»: Να αναγνωρίσετε το είδος της πρότασης και τη συντακτική της λειτουργία στο πλαίσιο των αναφορών του ομιλητή. (μονάδες 4)

Μονάδες 10